# TEZAUR LITURGIC

## 9 IULIE

# SLUJBA SF.CUVIOS FOTIE DE LA TESALONIC

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 09 ΙΟΥΛΙΟΣ
# ΦΩΤΙΟΣ ΟΣΙΟΣ ΘΕΤΤΑΛΟΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν τὰ Στιχηρὰ Προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς τρωθεὶς τὴν διάνοιαν, τῇ ἀγάπῃ τοῦ Κτίστου σου, κοσμικὴν κατέλιπες ματαιότητα, καὶ τὸν ζυγὸν τοῦ Κυρίου σου, ἀράμενος Ὅσιε, τῶν Ὁσίων Ἀσκητῶν, μιμητὴς ἐχρημάτισας, βίῳ κρείττονι, διὰ τοῦτο Φώτιε θεόφρον, τῆς αὐτῶν κατηξιώθης, δόξης καὶ θείας λαμπρότητος.

Τῆς πατρίδος σου Ὅσιε, νουνεχῶς ἀπεμάκρυνας, πρὸς τὰ ἐπουράνια ἐπειγόμενος, καὶ πολιτείαν ἰσάγγελον, θερμῶς ἀσπασάμενος, Ἀναργύρων τῇ Μονῇ, σεαυτὸν ἐπιδέδωκας, πόθῳ κρείττονι, καὶ ἀσκήσει συντόνῳ τῆς Τριάδος, Μονὴν ὄντως ἀπειργάσω, ἔμψυχον Πάτερ Φώτιε.

Τῆς ψυχῆς τὴν λαμπρότητα, καταυγάζων ἀσκήσει σου, κτίσαν τὴν Μονὴν Ἀκαπνίου, Πάτερ τὴν πόλιν διήρχεσω, φωτίζων τοὺς ἅπαντας, καὶ πρὸς βίον καθαρόν, ἐπισπώμενος Ὅσιε, λόγοις κρείττοσι, τοῖς ἐν βάθει παθῶν καὶ ἁμαρτίαις, ὡς θεράπων τοῦ Κυρίου, καὶ τῆς ἀγάπης θησαύρισμα.

Θετταλίας τὸ βλάστημα, βασιλέως τοῦ σύσκηνου, φωτὸς τὸν φερώνυμον εὐφημήσωμεν, τὸν θεοφόρον Φώτιον, τὸν πάσας νικήσαντα, τοῦ ἐχθροῦ τὰς προσβολάς, καὶ ζωὴν ἰσάγγελον βιωσάμενον, ἐν τῇ πόλει τῶν Θεσσαλονικέων, ἣν ἱδρῶσι τοῖς ἁγίοις, ὡς ἀληθῶς καθηγίασε.

Τῶν παθῶν καθηράμενος, τὴν ψυχὴν καὶ τὸ σῶμά σου, τοῦ Ἁγίου Πνεύματος σκεῦος γέγονας, διό σοι προσετρέχου, Φώτιε Ὅσιε, Βασίλειος ὁ βασιλεύς, καὶ ὁ φιλόχριστος λαός, εὐφραινόμενοι, ἐν τοῖς θείοις σου λόγοις θεοφόρε, καὶ ταῖς σαῖς θερμαῖς εὐχαῖς σου, καὶ ἱκεσίαις πρὸς Κύριον.

Ὡς ἀγάπης ἀνάπλεως, καὶ Χριστοῦ φίλος γνήσιος, ὑπὲρ ταύτην Ὅσιε καὶ τὸν βίον σου, ὅλον προθύμως ἐκδέδωκας, καὶ χαίρων ἀνέδραμες, πρὸς ἀθάνατον ζωήν, διὸ ὁ Κύριος σὲ κατέταξεν, ταῖς τῶν Ὁσίων Φώτιε χορείαις, μεθ᾿ ὧν πρέσβευε ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

*Δόξα. Ἦχος πλ. β΄.*

Μοναδικὴν ποθήσας ζωήν, κοσμικὴν ἀπηρνήσω τύρβην, ἐν θεολήπτῳ ψυχῇ, θεόφρον Φώτιε, ὅλῳ γὰρ νοΐ, τὰ ἄνω ποθῶν καὶ ζητῶν, τῷ πόθῳ βίον κατάλληλον ἐπεδείξω, τοῖς πάλαι Ὁσίοις ἁμιλλώμενος, καὶ ἐν παντὶ εὐαρεστήσας Χριστῷ, καὶ τῆς θεϊκῆς δωρεᾶς τρυφῆσας, καὶ τῶν γερῶν ἀξίως μετέσχες, πρεσβεύων ἀπαύστως, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί

ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. ε' 15)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Ταῖς ἀκτῖσι τῆς χάριτος, λαμπρυνθεὶς τὴν καρδίαν σου, ὅλον τὸν βίον σου Ὅσιε, Χριστῷ καθιέρωσας, ὡς τελειοτάτην προσφοράν, καὶ δῶρον εὐπρόσδεκτον, οὐρανίῳ ἐφέσει, καὶ τῇ ἀπ' οὐρανοῦ χορηγίᾳ, τὸ πέλας προσφέρων τῆς ἀγάπης τὸν θησαυρόν, ἀξίως μετέστης, πρὸς τὰ ἄνω Βασίλεια, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος, Φώτιε παμμακάριστε.

*Εἰς τὸν Στίχον. Ἦχος β'. Ὅτε ἐκ τοῦ Ξύλου.*

Ὅτε, ἐκ Θετταλίας εὐσεβῶς, τῇ Θεσσαλονίκῃ προσῆλθες, Πάτερ Φώτιε, τότε κατεσκήνωσας, τῶν

Ἀναργύρων Μονή, καὶ ἀγῶσιν ἀσκήσεως, τὸν νοῦν ἐκκαθάρας, σκεῦος πολυτίμητον, ὤφθης τοῦ Πνεύματος, πόνοις γὰρ καὶ μόχθοις ἐνθέοις, ὤφθης μιμητὴς θεοφόρε, τῶν πάλαι Ὁσίων καὶ ἰσότιμος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Πᾶσας, τὰς τοῦ βίου ἡδονάς, ῥέοντα καὶ ἄστατον πλοῦτον, καὶ τὴν ἐπίκηρον, δόξαν βδελυξάμενος, Μονὴν ἐποίησας, τὸν Σταυρὸν γὰρ ἀράμενος, ἐπ' ὤμων προθύμως, Χριστῷ ἠκολούθησας, Φώτιε Ὅσιε, ὅθεν, παρ' Αὐτοῦ ἐκομίσω, στέφανον ἀμάραντον δόξης, καὶ μετὰ Ὁσίων συναρίθμησαι.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Ὅλος, συνεκράθης τῷ φωτί, σὺ τῷ ἀπροσίτῳ παμμάκαρ, ἡλίου τοῦ νοητοῦ, τοῦ ἐν Θαβὼρ λάμψαντος, αὐγαῖς θεότητος, καὶ πρὸς τούτου τὸν ἔρωτα, Φώτιε ἀνετάθης, πόνοις τῆς ἀσκήσεως, σαρκὸς τὰ βράσματα, πάντα κατασβέσας ἐνθέως, καὶ τῆς οὐρανίου καὶ θείας, δόξης ἠξιώθης παναοίδιμε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Βιοτὴν ἀγαπήσας ἰσάγγελον, τὰς τοῦ βίου ἡδονὰς βδελυξάμενος, πλοῦτον καὶ εὐγένειαν εἰς οὐδὲν λογισάμενος, καὶ τῷ θείῳ πόθῳ πυρποληθείς, τὰ πάντα κατέλιπες, καὶ τῷ Χριστῷ θερμῶς ἠκολούθησας, ὅθεν καὶ εἰς ὕψος ἀρετῶν ἀναδραμών, νῦν ἐν οὐρανοῖς μετ' Ἀγγέλων συναγάλλῃ, καὶ τῇ Τριάδι παρίστασαι, ἐκτενῶς δεόμενος, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Ἐν τῇ Μονῇ Ἀναργύρων ἀσκητικῶς διαιτώμενος, τῶν μοναστῶν ποιμὴν ἐδείχθης, θεοφόρε Πατὴρ ἡμῶν Φώτιε, ἐντεύξεσι καὶ λόγοις φαεινοῖς, συνέδραμες τῷ ἐν Πόλει βασιλεῖ, Θετταλῶν δὲ τὴν χώραν μεγαλουργῶν, ἐνθέως σὺ ἐδόξασας, δόξα τῷ Παντοκράτορι Χριστῷ, προΐστασθαί σοι κελεύσαντι, ἐν Ἀκαπνίου τῇ Μονῇ, Θεσσαλονίκης ἀοίδιμε.

*Δόξα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.*

Τῆς Μονῆς Ἀναργύρων θεῖον ἐκβλάστημα, Βασιλευούσης δὲ πάσης σέμνωμα, γέρας λαμπρόν, μοναζόντων ὁδηγὸν καὶ κλέος Θεσσαλονίκης, Φώτιον ἅπαντες πιστοὶ ἀνυμνήσωμεν λιταῖς, τοῦ βασιλέως τὸν ποδηγέτην, καὶ νῦν πρεσβεύει ἀπαύστως τῷ Ἀθανάτῳ Βασιλεῖ καὶ Θεῷ.

*Καὶ νῦν. Θεοτοκίον*

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν

Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' στιχολογίαν,*

*κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Ὁλόφωτος ἀστήρ, τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἐδείχθης ἀληθῶς, προμηθείᾳ ἀῤῥήτῳ, λαμπρύνων ταῖς χάρισι, καὶ θαυμάτων λαμπρότητι, Φώτιε Ὅσιε, τῶν πιστῶς τὰς καρδίας, ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, πιστῶς ἑορτάζομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν πάντων Ποιητήν, ἐν μορφῇ τῇ βροτείᾳ, δι' ἔλεος πολύ, ἀποῤῥήτως τεκοῦσα, ἐκαίνισας τὸ φύραμα, τῶν ἀνθρώπων τῷ τόκῳ Σου, ἀπειρόγαμε, εὐλογημένη Μαρία, ὅθεν ἅπαντες, τῶν μεγαλείων Σου Κόρη, ὑμνοῦμεν τὸ μέγεθος.

*Μετὰ τὴν β' στιχολογίαν, κάθισμα. Ὅμοιον*

Ἀστέρας φαεινός, Ἐκκλησίας ἐδείχθης, καὶ λύχνος φωταυγής, τῇ λαμπρᾷ βιοτῇ σου, Φώτιε μακάριε, Ἀσκητῶν ἰσοστάσιε, μεθ' ὧν πρέσβευε, ὑπὲρ ἡμῶν τῷ Κυρίῳ, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ βίου διόρθωσιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Κυήσασα σαρκί, τὸν Ὑπέρθεον Λόγον, καὶ μείνασα Ἁγνή, ὡς πρὸ τόκου παρθένος, ἁπάντων ὑπερέχουσα, ἀσυγκρίτως Πανάχραντε, ἐχρημάτισας, ὡς τοῦ Θεοῦ ἡμῶν Μήτηρ, οὗ ἱκέτευε, ὑπὲρ ἡμῶν Θεοτόκε, τῶν πίστει τιμώντων Σε.

*Μετὰ τὸν Πολυέλεον,*
*κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.*

Τῶν Ὁσίων μιμούμενος τὴν ζωήν, Ἀναργύρων προσῆλθες ἐν τῇ Μονῇ, καὶ βίον ἰσάγγελον, βιωσάμενος Ὅσιε, τοῦ Παρακλήτου ὤφθης, κειμήλιον ἔμψυχον, σαρκὸς ἀπονεκρώσας τελείως τὸ φρόνημα, ὅθεν ἀπαθείας, ἀπαστράπτων τῇ αἴγλῃ, ἐκφαίνεις τοῖς ἔργοις σου, ἀρετῆς τὴν λαμπρότητα, θεοφόρε Φώτιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὑπὲρ φύσιν τεκοῦσα τὸν Ποιητήν, διὰ σπλάγχνα ἐλέους καὶ οἰκτιρμῶν, λαβόντα ἐξ αἱμάτων Σου, τὸ ἀνθρώπινον φύραμα, δίχα τροπῆς Παρθένε, ὁ μόνος Φιλάνθρωπος, μείνας ὃ ἦν τὸ πρότερον, Θεὸς ἀναλλοίωτος, ὤφθης σωτηρία, ἀψευδὴς παντὸς κόσμου, καὶ μέγα προσφύγιον, τῶν ἀνθρώπων Πανάχραντε, διὰ τοῦτο βοῶμέν Σοι· Πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι,

τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄφραστον Τόκον Σου.

Τὸ α’ ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Τὴν πνευματικὴν ὑπελθὼν πολιτείαν, τῶν κατ’ αὐτὴν ἐπιδόσεων ὑποτύπωσις ὤφθης, καὶ τῶν ἐν αὐτῇ καλῶν τὴν μετουσίαν ὑπεμφαίνων, ἐν ταπεινοφροσύνῃ καὶ πραότητι, καὶ ἀπλάστοις ἤθεσι, τὴν ζωὴν ἐκόσμησας, διὸ ἐν Ἁγίοις ὁ κλῆρός σου γέγονε, καὶ τῆς ζωῆς τῷ ξύλῳ ἀποκατέστης, οὗ καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς πρεσβείαις σου Φώτιε ἀξιάγαστε.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ὁσίου.

*Ὠδὴ α’. Ἦχος δ’. Ἀνοίξω τὸ στόμα μου.*

Τὰ χείλη τὰ βέβηλα, καὶ ῥυπαρά μου ἀνάπτυξον, Φώτιε μακάριε, ὅπως τὴν μνήμην σου, τὴν χαρμόσυνον, ὑμνήσω θεοφόρε, καὶ ᾄσω γηθόμενος, σοῦ τὰ θαυμάσια.

Ἡ θεῖα καὶ πάμφωτος, σήμερον μνήμην σου Ὅσιε, φαιδρῶς ἀνατέταλκε, πάντας φωτίζουσα, τοὺς προστρέχοντας, Ναῷ τῶν Ἀναργύρων, καὶ πόθῳ δοξάζοντας, τὸν σὲ δοξάσαντα.

Ναὸς καθαρότατος, ἐγένου Πάτερ τοῦ Κτίστου σου, σεαυτὸν καθηράμενος, ἐνθέως Ὅσιε, πόνοις σώματος, καὶ προσευχαῖς συντόνοις, καὶ πάντα τῷ κρείττονι, ὑποταξάμενος.

*Θεοτοκίον.*

Σκηνὴ θεοχώρητε, καὶ ἐπουράνιε τράπεζα, τὸν ἄρτον ἡ φέρουσα, τὸν ἀγεώργητον, πάσης λύτρωσαι, γεέννης τοὺς ὑμνοῦντας, καὶ πίστει γεραίροντας, τὸν θεῖον Τόκον Σου.

*Ὠδὴ γ᾽. Τοὺς Σοὺς ὑμνολόγους.*

Ἡ θεία σου μάκαρ πολιτεία, Ἀγγέλους κατέπληξε σοφέ, ὁρῶντες γὰρ ἐν σώματι, ἀγγελικῶς βιοῦντά σε, χαρμονικῶς ἠγάλλοντο, τῶν πάντων Κτίστην δοξάζοντες.

Νηστείαις καὶ δάκρυσι παμμάκαρ, καὶ θείαις παννύχοις προσευχαῖς, σαυτὸν καθοπλισάμενος, ἀντέστης ἀνδρικώτατα, κατὰ τοῦ κοσμοκράτορος, καὶ νίκης στέφος ἀπείληφας.

Γενναίως μισήσας θεοφόρε, τὸν κόσμον καὶ τούτου τὰ τερπνά, πλοῦτόν τε εὐγένειαν, καὶ πᾶσαν ἡδυπάθειαν, καὶ τὸν Σταυρὸν ἀράμενος, Χριστῷ θερμῶς ἠκολούθησας.

*Θεοτοκίον.*

Εὐρύχωρον σκήνωμα τοῦ Λόγου, καὶ πλάκα θεόγραφον ἁγνή, καὶ κλίνην πορφυρόστρωτον, γινώσκοντές Σε Δέσποινα, χαρμονικῶς βοῶμέν Σοι· χαῖρε Μαρία Θεόνυμφε.

*Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ἐν Ἀκροπόλει ὁ Χριστός, Θεσσαλονίκης τῆς κλεινῆς, σὲ ἀνέδειξε σοφέ, ἄλλον φωστῆρα παμφαῆ, τῆς οἰκουμένης τὰ πέρατα φωταγωγοῦντα, θάλποντα ψυχὰς τῶν τιμώντων σε, νόων σκοτασμούς, ἐκδιώκοντα, ὅθεν πιστοί σε ἅπαντες γεραίρομεν, καὶ μετὰ πόθου κραυγάζομεν· Φώτιε σώζου, πάσης ἀνάγκης, τοὺς τελοῦντας τὴν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον*

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Μονοτρόπων τὰς χορείας, διεκόσμησας Φώτιε, ἀρετῶν μαργάροις, καὶ σαπφείροις σῆς ταπεινώσεως, καὶ πολιτείαν διῆλθες τὴν ἐπίγειον, νήφων Ὅσιε, νηστεύων καὶ κακουχούμενος.

Κλέος ἀσκητῶν Ὁσίων, θεοείκελε Φώτιε, ἐν Θεσσαλονίκῃ, ἤσκησας ὡς μέροψ ἰσάγγελος, καὶ ἀναβὰς ἀρετῶν τὴν θείαν κλίμακα, δυσαντίβλεπτον, εἰς ὕψος ἔφθασας νήψεως.

Ὥσπερ ὄρους Χορταΐτου, πολιστὴν εὐφημοῦμέν σε, Φώτιε τρισμάκαρ, ὁ ἐν κορυφῇ μόχθοις πάνσεπτον, Ναὸν δομήσας σεπτοῖς σου θείῳ Ἄρχοντι, ὁσιώτατε, τῶν οὐρανίων Δυνάμεων.

*Θεοτοκίον.*

Ἰσχυροὺς Θεογεννῆτορ, δεῖξον τοὺς ἀνυμνοῦντάς σε, ἐν ταῖς καθ᾽ ἑκάστην, μάχαις εὐσυμπάθητε Δέσποινα, κατὰ παθῶν χαμαιζήλων παντευλόγητε, πολυτίμητον, τῆς παρθενίας κειμήλιον.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ὁσίων τοῖς τάγμασιν, ἐν πόλῳ συνηρίθμησαι, Φώτιε πατέρων κοσμιότης, ὁ ἁγιάσας, Θεσσαλονίκην ῥοαῖς, ἱδρώτων σου τῶν ἀσκητικῶν, καὶ δακρύων χεύμασιν, ἀειῤῥύτων σου ὄλβιε.

Θειότατε Φώτιε, τῆς ἀρετῆς ἐκτύπωμα, ἤγειρας ἐν τῇ Θεσσαλονίκῃ, τοῦ Ἀκαπνίου Σεμνεῖον τὸ ἱερόν, εὐχῆς ὃ ἀόκνου ἀληθῶς, μάκαρ θεοβράβευτον, ἐργαστήριον ἔδειξας.

Νικήσαντος ἄνακτος, ἐχθροὺς ἐπώφθης στήριγμα, Φώτιε εὐτόλμου Βασιλείου, δωρησαμένου, σοὶ εὐγνωμόνως σεπτέ, πληθὺν ἀργυρίων ἃ καλῶς, πένησιν ἐμοίρασας, καὶ πεινῶσι καὶ στένουσι.

*Θεοτοκίον.*

Ἐξ ὕψους εὐκλείας σου, ἐπάκουσον δεήσεων, πάντων οἰκετῶν σου διαθέρμων, Θεογεννῆτορ, καὶ δὸς ἀφθόνως ἡμῖν, τὴν χάριν σου Μῆτερ ἀγαθή, τοῖς ἀνευφημοῦσί σε, ὡς πιστῶν θείαν πρέσβειραν.

*Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ταμεῖον νήψεως Φώτιε, πυξίον ἀρετῆς καὶ συνέσεως, σὲ μακαρίζομεν, ὡς Ἀναργύρων οἰκήτορα, Ἁγίων Μάνδρας πάτερ, τῆς Ἀκροπόλεως.

Ἀφθόνως χάρις τοῦ Πνεύματος, τοῦ θείου ἐξεχύθη πανίερε, ἐν τῇ καρδίᾳ σου, καὶ διαβήματα ἴθυνε, τὰ σὰ πρὸς ἀφθαρσίας, σκηνώσεις Φώτιε.

Τῇ προσευχῇ σου ἀνέβλυσας, ἐκ πέτρας ὕδωρ ἄφθονον Φώτιε, ὅτε ἐδόμησας, τῷ Μιχαὴλ ἀξιάγαστε, Ναὸν Ἀρχιστρατήγῳ, θείων Δυνάμεων.

*Θεοτοκίον.*

Λαμπὰς ἁγνείας πανύμνητε, τὸν ζόφον οἰκετῶν σου διάλυσον, τοῖς ἀμαρύγμασι, τῶν πρεσβειῶν σου πρὸς Τόκον σου, Χριστὸν τὸν Φωτοδότην, Θεογεννήτρια.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τῆς Θετταλίας ἀνυμνήσωμεν ἐκβλάστημα, ἐν Ἀκροπόλει ῥόδα εὔοσμα ἀνθήσαντα, ἐν τῷ ὄρει Χορταΐτου καὶ Ἀκαπνίου, ἐν Μονῇ, οἰκείοις πόνοις ἣν ἐδόμησεν, ἀσκητῶν ὡς ποδηγὸν σοφὸν πρὸς θέωσιν, πόθῳ κράζοντες· Χαίροις, Ὅσιε Φώτιε.

*Ὁ Οἶκος.*

Ἄγγελος σαρκοφόρος, μάκαρ Φώτιε ὤφθης, Ὁσίων Θετταλῶν ὡραιότης, προσευχῆς νοερᾶς ἀκρεμών, ὁ σὺν τῷ Βλασίῳ, σῷ σεπτῷ Γέροντι, ἀσκήσας ὥσπερ ἄσαρκος, καὶ ἤγειρας πιστοὺς βοᾶν σοι·

Χαῖρε, τὸ ἄνθος τῆς Θετταλίας·
χαῖρε, τὸ φέγγος τῆς ἀπαθείας.
Χαῖρε, ἀσκητῶν Ἀκροπόλεως σάπφειρος·
χαῖρε, παμφαῶν μονοτρόπων διάκοσμος.
Χαῖρε, ὅτι θείων ᾤκησας Ἀναργύρων τὴν Μονήν·
χαῖρε, ὅτι Μάνδραν ἔκτισας Ἀκαπνίου τὴν σεπτήν.
Χαῖρε, ὁ ἐκ τῆς πέτρας ὕδωρ ξένως ἐκβλύσας·
χαῖρε, ὁ ὑπωρείας Χορταΐτου πολίσας.
Χαῖρε, λαμπρῶν ἀγώνων θησαύρισμα·
χαῖρε, ἡμῶν θερμὸν ἀγαλλίαμα.
Χαῖρε, εὐχῆς ἀσιγήτου κιθάρα·
χαῖρε, ζωῆς θεαρέστου κινύρα·
Χαίροις, Ὅσιε Φώτιε.

*Συναξάριον.*

Τῇ Θ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Φωτίου τοῦ Θετταλοῦ.

*Ἀκρόπολιν, Φώτιε, καὶ Χορταΐτην*
*ἀστραπαῖς ἐφώτισας σεπτῶν ἀγώνων.*

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Οὐρανόφοιτε, μονότροπε τὰ τάγματα, Ἀγγέλων Φώτιε, σὲ ἐν παμφώτοις σκηναῖς, λαμπρῶς

ὑπεδέξαντο, ὡς ἰσοστάσιον, καὶ ἰσότιμον, αὐτῶν ἐν δόξῃ Ὅσιε, Θετταλῶν ἐνθέων γέρας.

Τὰ παλαίσματα, γεραίροντές σου Φώτιε, ἐγκωμιάζομεν, ὡς Βασιλείου κλυτοῦ, εὐχέτην πρὸς Κύριον, τοῦ αὐτοκράτορος, ὃν ἐβάστασας, ἐν ὥρᾳ τῆς βαπτίσεως, τῆς αὐτοῦ ἐν σαῖς ὠλέναις.

Ὑμνῳδίαις σε, εὐτάκτοις μακαρίζομεν, θεόφρον Φώτιε, ἀσκητικῆς ἀγωγῆς, τὸν λύχνον τὸν ἄσβεστον, καὶ σέλας πάμφωτον, ταπεινώσεως, καὶ νήψεως πανόσιε, τὸ φωτίσαν πᾶσαν κτίσιν.

*Θεοτοκίον.*

Οὐ παυόμεθα, τρανῶς σε μακαρίζοντες, Θεογεννήτρια, οἱ ἐν δειναῖς συμφοραῖς, προσφεύγοντες πάντοτε, τῇ ἀντιλήψει σου,, προστασίᾳ σου, ἑτοίμῃ Μητροπάρθενε, θείᾳ χάριτι καὶ σκέπῃ.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ὕμνοις σε τιμῶντες μελιῤῥύτοις, ὡς πρόβολον εὐσεβείας καὶ χρηστότητος, ἀσκητὰ θεόφιλε, Θετταλίας βλάστημα, πνευματοφόρε Φώτιε, ὁ τὸν ἀλάστορα, πυκτεύσας νυχθημέροις σου πόνοις, κλίσεσι γονάτων, εὐχῇ καὶ ἀγρυπνίᾳ.

Στῦλε ταπεινώσεως ἀφάτου, φωτόλαμπρε τοῖς σοῖς ῥήμασιν ἐστήριξας, ἄνακτα Βασίλειον, Φώτιε θειότατε, κατ’ ἐναντίων Ὅσιε, καὶ τὸν Χριστώνυμον, λαὸν Θεσσαλονίκης ἐν πίστει, καὶ ἐν τοῖς ἀγῶσι, κατὰ τοῦ μισοκάλου.

Ὅσιε Ἁγίων Ἀναργύρων, Σεμνείου τῆς Ἀκροπόλεως διάκοσμε, θεοφόρε Φώτιε, μοναστῶν καλλώπισμα, ὁ μαθητεύσας ἄριστα, πάτερ τρισόλβιε, παρὰ θεοεικέλου Βλασίου, πόδας διδασκάλου, σοφοῦ καὶ παναρέτου.

*Θεοτοκίον.*

Ἴθυνον τῶν δούλων σου Παρθένε, πρὸς δώματα οὐρανῶν τὰ διαβήματα, τῶν μακαριζόντων σε, μελιχροῖς ἐν ᾄσμασι, χειραγωγὸν ὡς πάνσεπτον, καὶ κατευθύντειραν, ἁπάντων ἀπλανῆ Θεοτόκε, ἀρετῆς πρὸς κτῆσιν, τῶν σοὶ καταφευγόντων.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Ὄλβε τιμαλφές, νηστείας καὶ νήψεως, τρισμάκαρ Φώτιε, δίδαξον ἱκέτας σου, τηρεῖν Κυρίου, πιστῶς ἐντάλματα, ἀπαύστως ἀγωνίζεσθαι, καὶ μηχανήματα, τοῦ ἐχθίστου, θραύειν οὗ τὰ ἔνεδρα, σῇ συντόνῳ ἀσκήσει ἐπάτησας.

Χαῖρε ἀσκητά, σεπτὲ Ἀκροπόλεως, παμμάκαρ Φώτιε, Χορταΐτου ἔνοικε, τοῦ Ἀκαπνίου, δομῆτορ ἔνθεε, τῆς Μάνδρας καὶ ὡράϊσμα, τῆς ὁμηγύρεως, μονοτρόπων, Φώτιε πανθαύμαστε, Θετταλίας περίλαμπρον σέμνωμα.

Ὕψωσας τὸν νοῦν, πρὸς Κύριον Φώτιε, σεπτὲ καρδίας σου, ἐφετὸν καμάτοις σου, τοῖς νυχθημέροις, εὐχαῖς ἀόκνοις σου, χαμαικοιτίᾳ δάκρυσι, γονάτων κλίσεσιν, ἀπαθείᾳ, νήψει καὶ σαρκίου σου, τῇ νεκρώσει κινήσεων, Ὅσιε.

*Θεοτοκίον.*

Μῆτερ τοῦ Θεοῦ, ἐλέει τοὺς δούλους σου, σὲ μακαρίζοντας, ὡς φρουρὸν ἀνύστακτον, καὶ παραστάτιν, βροτῶν θερμότατον, ἡ οὐρανόθεν σκέπουσα, τοὺς σοὶ προσφεύγοντας, καὶ τηροῦσα, ἀσινεῖς σοὺς πρόσφυγας, τῶν βελῶν τοῦ δεινοῦ πολεμήτορος.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἀσκητικοῖς παλαίσμασι, διήνυσας τοῦ βίου σου, Φώτιε θεοφόρε, καὶ θεϊκῆς ἐνεργείας, ἐδείχθης ἐνδιαίτημα, ὡς καθαρὸς τῷ πνεύματι, καὶ νῦν ἀπαύστως πρέσβευε, ὑπὲρ ἡμῶν τῶν τελούντων, τὴν φωτοφόρον σου μνήμην.

*Θεοτοκίον.*

Χριστὸν τὸν ὑπεράγαθον, ἀπαύστως καθικέτευε, τὸν Σὸν Υἱὸν καὶ Δεσπότην, πανύμνητε Θεοτόκε, οἰκτεῖραι τὰς ψυχὰς ἡμῶν, καὶ τῆς αὐτοῦ λαμπρότητος, μετὰ τὸ τέλος Ἄχραντε, καταξιῶσαι τοὺς πίστει, προστρέχοντας τῇ Σῇ σκέπῃ.

*Αἶνοι. Ἦχος δ’. Ἔδωκας σημείωσιν.*

Ἔδωκας Φώτιε, τῆς σῆς καρδίας τὴν ἔφεσιν, ὁλικῶς τῷ Παντάνακτι, καὶ βίον κατάλληλον, τῷ πόθῳ ἐκτήσω, πάσης συναφείας, τῶν φθειρομένων χωρισθείς, διὸ ἐπλήσθης φωτὸς τῆς χάριτος, καὶ σκεῦος πολυτίμητον, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ἐχρηματίσας Ὅσιε, καθαρθεὶς τὴν διάνοιαν.

Βίον τὸν ἰσάγγελον, μετὰ σαρκὸς πεπολίτευσαι, οὐρανίῳ φρονήματι, Φώτιε Ὅσιε, ἐν τῇ τῶν Ἀναργύρων, καὶ τοῦ Ἀκαπνίου, Μοναῖς ταῖς θείαις καὶ σεπταῖς, καὶ ἐκτελέσας καλῶς τὸν δρόμον σου, μετέστης ἀγαλλόμενος, πρὸς οὐρανῶν τὰ σκηνώματα, τῶν καμάτων τὰ ἔπαθλα, τοῦ σοῦ βίου δεχόμενος.

Κόσμου κατεφρόνησας, καὶ ἡδονῶν τῶν τοῦ σώματος, καὶ Χριστῷ ἠκολούθησας, ἐπ᾽ ὤμων ἀράμενος, τὸν Σταυρὸν θεόφρον, ᾧ τὴν τοῦ Βελίαρ, κάραν συνέτριψας στεῤῥῶς, θείᾳ δυνάμει περιφρουρούμενος, καὶ γῆθεν πρὸς οὐράνια, μετεβιβάσθης γηθόμενος, πρεσβευτὴς ἑτοιμότατος, τῶν πιστῶς εὐφημούντων σε.

Ἔλαμψεν ἡ μνήμη σου, ὡς ἄλλος ἥλιος σήμερον, καὶ τὴν κτίσιν ἐφώτισεν, αὐγαῖς τῶν χαρίτων σου, ἔνδοξε Φώτιε, δεινῶν παθημάτων, ἀποσοβοῦσα τὴν ἀχλύν, καὶ εὐρωστίας φῶς τὸ γλυκύτατον, βραβεύουσα τοῖς κάμνουσι, καὶ τῇ σῇ μνήμῃ προστρέχουσι, καὶ τὴν θείαν σου Ὅσιε, ἐκτελοῦσι πανήγυριν.

*Δόξα. Ἦχος πλ. α᾽.*

Ὅσιε Πάτερ, τῶν ἀρετῶν τὴν τρῖβον ἀκλινῶς βαδίσας, τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐκ χειρὸς Κυρίου ἐδέξω, πάντα γὰρ τὰ σὰ ἀνθεὶς τῷ Σωτῆρι, καὶ τῷ θείῳ φόβῳ τὴν ψυχὴν ῥυθμίσας, τῶν γεηρῶν ὑπερίπτασο, ὡς ἐν ἀσύλῳ θησαυρῷ τὸν νοῦν τηρήσας, ἐκ τῶν ἐν κόσμῳ ἡδέων καὶ τῶν σκανδάλων τοῦ ὄφεως, καὶ ἐν ἀληθεῖ ὁσιότητι θεοειδὴς γενόμενος, τῶν ἀπ᾽

αἰῶνος Ἁγίων, τῆς στάσεως ἠξίωσαι. Μεθ’ ὧν Χριστὸν ἱκέτευε, Φώτιε παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

